bonum eſt? An vſque ad aliquem finem bonæ ſunt? Nam quibus in habitibus ac motibus, eius,quod eſt melius ,nimium non reperitur,ne eorum voluptatis quidē nimium eſt: quorum autem nimium reperitur, voluptatis quoque nimium reperitur. Corporis autem bonorum aliquod eſt nimium, & malus quiſque ex eo eſt, quòd immoderatas voluptates ſequatur, non quòd neceſſarias. Delectantur enim omnes quodāmodo opſoniis, vino,& rebus venereis,ſed non ita vt oportet.Contrà fit in dolore. Nam non fugit quiſque immoderatum dolorem,ſed omnino dolorem.Non enim nimio dolor eſt contrarius,niſi ei qui nimium conſectatur.Quoniam autem non ſolùm oratio vera eſſe debet, verùm etiam cauſa, cur falſa pro veris habita ſint,aperienda eſt(hoc enim ad fidem faciendum valet:nam cùm probabilis ratio viſa fuerit, quamobrē viſum ſit aliquid verum,quod verum non eſſet, tum magis adducimur vt vero fidem habeamus) idcirco exponenda ratio eſt,cur voluptates corporis magis expetendæ videantur. Primùm igitur voluptatem corporis, tum quia dolorem diſcutit, tum propter immoderatos dolores tanquam medicamentum,& curationem quandam perſequuntur. Curationes autem omnes ſunt vehementes,eóque ſtudioſè quęruntur, quia videntur cum ſuo contrario pugnare. Econtra verò non eſſe bonum voluptas duabus videtur iiſdem de cauſis, vt dictū eſt:partim quia voluptates ſunt vitioſæ naturæ actiones, aut in primo animātis ortu, vt ferarum:aut propter conſuetudinem, vt vitioſorum hominum: partim quia curationes ſunt eius, quod aliquid deſiderat: & poſſidere quàm acquirere præſtat.Hæ autem percipiuntur,cùm explētur cupiditate,& cùm ij,qui illas deſiderant in perfectam naturam reſtituuntur.Ex euentu igitur bonæ ſunt. Præterea cōſectantur eas, quia ſunt vehementes ij, quibus aliæ oblectationes non ſuppetunt. Itaq.ſitim quandā ſibi ipſi quærunt,atq.arceſſunt.Vbi igitur innoxias ſequūtur,non eſt reprehendendū: vbi damnoſas & perniicioſas malū.Nam neq.alia habent, quibus delectētur,& ſi neutrū præſtò ſit,multi dolore moleſtiáq.afficiūtur propter naturam.Perpetuo enim labore defatigatur animal,vt etiam libri de natura ſcripti teſtantur in quibus ſcriptum eſt, videre & audire laborioſum ac moleſtum eſſe: ſed quotidiana conſuetudine fieri,vt minus ſentiamus,vt aiunt.Itémq.in adoleſcentia quidem:propterea quòd ea ætate corpus magnitudinē & vires colligit, ſic afficiūtur homines,vt vinolenti:& ætas iuuenum,iucundū quiddam eſt. Qui autē ab atra bile affictātur natura,ſemper egēt curatione. Corpus enim eorū aſſiduè vellicatur.

A ἢ μέχρι του ἀγαθαί; τῶν μὲν γὰρ ἕξεων καὶ κινήσεων ὅσων μὴ ἔστι τοῦ βελτίονος ὑπερβολὴ, οὐδὲ τῆς ἡδονῆς· ὅσων δ' ἔστι, καὶ τῆς ἡδονῆς ἔστι. τῶν δὲ σωματικῶν ἀγαθῶν ἔστιν ὑπερβολή· καὶ ὁ φαῦλος, τῷ διώκειν τὴν ὑπερβολήν ἐστιν, ἀλλ' οὐ τὰς ἀναγκαίας· πάντες γὰρ χαίρουσί πως καὶ ὄψοις, καὶ οἴνοις, καὶ ἀφροδισίοις, ἀλλ' οὐχ ὡς δεῖ. ἐναντίως δὲ ἔστι τῆς λύπης· οὐ γὰρ τὴν ὑπερβολὴν φεύγει, ἀλλ' ὅ- B λως. οὐ γάρ ἐστι τῇ ὑπερβολῇ λύπη ἐναντία, ἀλλ' ἢ τῷ διώκοντι τὴν ὑπερβολήν. ἐπεὶ δ' οὐ μόνον δεῖ τἀληθὲς εἰπεῖν, ἀλλὰ καὶ τὸ αἴτιον τοῦ ψεύδους· τοῦτο γὰρ συμβάλλεται, πρὸς τὴν πίστιν· ὅταν γὰρ εὔλογον φανῇ τὸ διὰ τί φαίνεται ἀληθὲς, οὐκ ὂν ἀληθὲς, πιστεύειν ποιεῖ τῷ ἀληθεῖ μᾶλλον. ὥστε λεκτέον διὰ C τί φαίνονται αἱ σωματικαὶ ἡδοναὶ, αἱρετώτεραι. πρῶτον μὲν οὖν δὴ, ὅτι ἐκκρούει τὴν λύπην, καὶ διὰ τὰς ὑπερβολὰς τῆς λύπης, ὡς οὔσης ἰατρείας, τὴν ἡδονὴν διώκουσι τὴν ὑπερβάλλουσαν, καὶ ὅλως τὴν σωματικήν. σφοδραὶ δὲ γίνονται αἱ ἰατρεῖαι· διὸ καὶ διώκονται διὰ τὸ παρὰ τὸ ἐναντίον φαίνεσθαι. καὶ οὐ σπουδαῖον δὴ δοκεῖ ἡ ἡδονὴ, διὰ δύο D ταῦτα, ὥσπερ εἴρηται· ὅτι αἱ μὲν, φαύλης φύσεώς εἰσι πράξεις ἢ ἐκ γενετῆς, ὥσπερ θηρίου. ἢ δι' ἔθος, οἷον αἱ τῶν φαύλων ἀνθρώπων· αἱ δ' ἰατρεῖαι, ὅτι ἐνδεοῦς, καὶ ἔχειν βέλτιον ἢ γίνεσθαι· αἱ δὲ, συμβαίνουσι τελειουμένων. κατὰ συμβεβηκὸς οὖν σπουδαῖαι. ἔτι, διώκονται διὰ τὸ σφοδραὶ εἶναι, ὑπὸ τῶν ἄλλαις μὴ δυναμένων χαίρειν· αὐτοὶ γοῦν αὑτοῖς δίψας τινὰς παρασκευάζουσι. ὅταν μὲν οὖν E ἀβλαβεῖς, ἀνεπιτίμητον. ὅταν δὲ βλαβεράς, φαῦλον· οὔτε γὰρ ἔχουσιν ἕτερα, ἐφ' οἷς χαίρουσι· τό, τε μηδέτερον πολλοῖς λυπηρὸν, διὰ τὴν φύσιν. ἀεὶ γὰρ πονεῖ τὸ ζῷον, ὥσπερ καὶ οἱ φυσικοὶ λόγοι μαρτυροῦσι, τὸ ὁρᾶν, τὸ ἀκούειν, φάσκοντες εἶναι λυπηρόν· ἀλλ' ἤδη συνήθεις ἐσμὲν, ὥς φασιν. ὁμοίως δ' ἐν μὲν τῇ νεότητι, διὰ τὴν αὔξησιν, ὥσπερ οἱ οἰνωμένοι διάκεινται, καὶ ἡδὺ ἡ νεότης· οἱ δὲ με- F λαγχολικοὶ τὴν φύσιν, αἰεὶ δέονται ἰατρείας· καὶ γὰρ τὸ σῶμα δακνόμενον διατελεῖ